# *Parmeno's Pig*

from Plutarch's *Table-Talk* V.1

by Pseudopolites

pseudopolites@subsidingsun.uk
http://subsidingsun.uk/pseudopol


ἐπεὶ τί πάσχοντες ἢ τίνος ἔξωθεν γενομένου πάθους τὴν ὗν τὴν Παρμένοντος οὕτως ἐθαύμασαν, ὥστε παροιμιώδη γενέσθαι;
καίτοι φασὶ τοῦ Παρμένοντος εὐδοκιμοῦντος ἐπὶ τῇ μιμήσει
…ζηλοῦντας ἑτέρους ἀντεπιδείκνυσθαι.


προκατειλημμένων δὲ
τῶν ἀνθρώπων καὶ λεγόντων:


‘εὖ μὲν
ἀλλ᾽ οὐδὲν πρὸς
τὴν Παρμένοντος
ὗν’.


ἕνα λαβόντα δελφάκιον ὑπὸ μάλης …
…προελθεῖν,
ἐπεὶ δὲ καὶ τῆς ἀληθινῆς φωνῆς ἀκούοντες
ὑπεφθέγγοντο ‘τί οὖν αὕτη πρὸς τὴν Παρμένοντος ὗν;’


ἀφεῖναι τὸ δελφάκιον εἰς τὸ μέσον
ἐξελέγχοντα τῆς κρίσεως τὸ πρὸς δόξαν οὐ πρὸς ἀλήθειαν.
ᾧ μάλιστα δῆλόν ἐστιν, ὅτι ταὐτὸ τῆς αἰσθήσεως πάθος οὐχ ὁμοίως διατίθησι τὴν ψυχήν, ὅταν μὴ προσῇ δόξα τοῦ λογικῶς ἢ φιλοτίμως περαίνεσθαι τὸ γενόμενον.